2 μὰ τοὺς θεοὺς ἐπιθυμῶ μαθεῖν. καὶ ὅρα πάλιν, πῶς εἶπεν ἐπιθυμῶ κατὰ τὸ φιλήδονον ζῶν· λέγει τοίνυν ὁ Καλλικλῆς, ὅτι εἰ ταῦτα καὶ σπεύδων λέγει, ἀνατέτραπται ἡμῶν ὁ βίος μηκέτι ἀδικούντων καὶ κερδαινόντων, ὥστε οἴεται τοῦτο εἶναι καλὸν τὸ ἀδικεῖν· καὶ οὐκ οἶδεν, ὅτι ὁ βίος ἐκείνου ἀνατέτραπται, οὐ γὰρ ὁ σώφρων· ἐπεὶ τοίνυν εἶπεν ὁ Καλλικλῆς· ὅτι· ὦ Σώκρατες, σπουδάζεις ἢ παίζεις; δείκνυσιν ὁ Σωκράτης, ὅτι σπουδάζει· καὶ ἵνα τοῦτο πιστώσηται φησίν, ὅτι εἰ μὴ εἴχομεν οἱ ἄνθρωποι κοινὰ πάθη, οὐκ ἂν ἄλλοι τὰ ἄλλων ἐγνώριζον· οἷον εἰ μὴ ἐπύρεξέ τις, ἄλλον βλέπων πυρέσσοντα οὐκ ᾔδει, ὅτι κάμνει· εἰδὼς δὲ ἐκ τῆς πείρας μανθάνει, καὶ ἔτι σαφέστερον τοῦτό ἐστιν ἐπὶ φωνῆς· εἰ γὰρ μὴ ᾔδειμεν τὰς ἀλλήλων φωνάς, οὐκ ἂν ἐγνωρίζομεν· εἰ γὰρ ἕκαστος ἰδίαν φωνὴν εἶχεν, οὐδὲν ἐνοοῦμεν. οὕτως ὁ Ἑλλάδι φωνῇ κεχρημένος καὶ ταύτην μόνην εἰδὼς οὐ νοεῖ τὴν τῶν Αἰγυπτίων. λέγει τοίνυν ὁ Σωκράτης τῷ Καλλικλεῖ, ὅτι εἰ μὴ εἴχομεν κοινὰ πάθη, οὐκ ἂν ᾔδειμεν τὰ ἀλλήλων. τί οὖν ἐστι

3 κοινὸν πάθος Σωκράτους καὶ Καλλικλέους; ἰστέον δέ, ὅτι καὶ ὁ Σωκράτης ἔρωτα εἶχε καὶ ὁ Καλλικλῆς· ἤρων τοίνυν καὶ προσώπου καὶ πράγματος· πρᾶγμα μὲν οὖν ἦν Σωκράτους ἡ φιλοσοφία, ταύτην γὰρ εἶχεν ἐρωμένην, πρόσωπον δὲ ὁ Ἀλκιβιάδης καὶ οἱ τοιοῦτοι· ὡσαύτως καὶ ὁ Καλλικλῆς ἔρωτα εἶχε τοῦ τε δήμου τῶν Ἀθηναίων, ἐθώπευε γὰρ αὐτόν, καὶ μειρακίου τινός, ᾧ ὄνομα κύριον Δῆμος· οὗτος δὲ ὁ Δῆμος ἦν Πυριλάμπους· σὺ μὲν οὖν, ὦ Καλλικλεῖς, ἃ θέλουσιν ἅπαντες οἱ ἐρώμενοι, ποιεῖς· ἀμέλει καὶ εἰ ἔλεγές τι παρὰ τῷ δήμῳ τῶν Ἀθηναίων ἢ τῷ Δήμῳ τῷ Πυριλάμπους καὶ ᾔσθου, ὅτι οὐκ ἀρέσκονται αὐτῷ καὶ ταῦτα δὴ νοσῶν καὶ μηδενὸς φειδόμενος· ὅμως μετήεις καὶ τὰ ἀρέσκοντα αὐτοῖς ἔλεγες· ἐγὼ δὲ τῷ μὲν ἑνὶ ἐρωμένῳ τίθημι καὶ τὰ ἀρέσκοντα αὐτῷ ποιῶ καὶ οὐδέποτε ἀφίσταμαι· τίς δέ ἐστιν οὗτος· ἡ φιλοσοφία, τὸν δὲ ἕτερον ὅ ἐστι τὸν Ἀλκιβιάδην, ἔστιν ὅτε καὶ ἀπο-

| | | | |
|---|---|---|---|
| 18 mg. | ἐρῶντες | πρόσωπα | πράγματα |
| | Σωκράτης | σπουδαῖοι ἄνδρες | φιλοσοφία |
| | Καλλικλῆς | Δῆμος Πυριλάμπους | δῆμος Ἀθηναίων |

32 τὸν, -ν supr. add. **M**